III. 5 ε′ Περὶ ἔρωτος·
οὗ ἡ ἀρχή· περὶ ἔρωτος πότερα θεός.

Ταῦτα μὲν οὖν τῷ πρώτῳ ἔτει τῆς Κλαυδίου πέμπει βασιλείας· ἀρχομένου δὲ τοῦ δευτέρου, ὅτε καὶ μετ᾽ ὀλίγον θνήσκει, πέμπει ταῦτα·

I. 8 α′ Τίνα τὰ κακά·
οὗ ἡ ἀρχή· οἱ ζητοῦντες πόθεν τὰ κακά.

II. 3 β′ Εἰ ποιεῖ τὰ ἄστρα·
οὗ ἡ ἀρχή· ἡ τῶν ἄστρων φορά.

I. 1 γ′ Τί τὸ ζῷον;
οὗ ἡ ἄρχή· ἡδοναὶ καὶ λῦπαι.

I. 7 δ′ Περὶ εὐδαιμονίας·
οὗ ἡ ἀρχή· ἆρ᾽ ἂν τις ἕτερον εἴποι.

Ταῦτα μετὰ τεσσαρακονταπέντε τῶν πρώτων καὶ δευτέρων γραφέντων γίνεται τέτταρα καὶ πεντήκοντα. ὥσπερ δὲ ἐγράφη, τὰ μὲν κατὰ πρώτην ἡλικίαν, τὰ δὲ ἀκμάζοντος, τὰ δὲ ὑπὸ τοῦ σώματος καταπονουμένου, οὕτω καὶ τῆς δυνάμεως ἔχει τὰ βιβλία. τὰ μὲν γὰρ πρῶτα εἴκοσι καὶ ἓν ἐλαφροτέρας ἐστὶ δυνάμεως καὶ οὐδέπω πρὸς εὐτονίαν ἀρκοῦν μέγεθος ἐχούσης, τὰ δὲ τῆς μέσης ἐκδόσεως τυχόντα τὸ ἀκμαῖον τῆς δυνάμεως ἐμφαίνει καί ἐστι τὰ κ̅δ̅ πλὴν τῶν βραχέων τελεώτατα, τὰ μέντοι τελευταῖα ἐννέα ὑφειμένης ἤδη τῆς δυνάμεως γέγραπται καὶ μᾶλλόν γε τὰ τελευταῖα τέσσαρα ἢ τὰ πρὸ τούτων πέντε.

**7.** Ἔσχε δὲ ἀκροατὰς μὲν πλείους, ζηλωτὰς δὲ καὶ διὰ φιλοσοφίαν συνόντας Ἀμέλιόν τε ἀπὸ τῆς Τουσκίας, οὗ τὸ ὄνομα ἦν Γεντιλιανὸς τὸ κύριον, αὐτὸς δὲ διὰ τοῦ ρ̅